τῇ δὲ [φίλην ἔτι παῖδα ἑῆς μετὰ χερσὶν ἐχούσῃ]
α[ἶψα δόλον θυμός τιν' ὀΐσατο, τρέσσε δ' ἄρ' αἰνῶς]
πα[υ]ομ[ένη φιλότητος, ἄφαρ δ' ἐρεείνετο μύθῳ·]
Τέκνον μή ῥά τί μοι σ[ύ γε πάσσαο νέρθεν ἐοῦσα]
βρώμης; ἐξαύδα, [μὴ κεῦθ', ἵνα εἴδομεν ἄμφω·]
ὣς μὲν γάρ κ' ἀνιοῦσα π[αρὰ στυγεροῦ 'Αΐδαο]
καὶ παρ' ἐμοὶ καὶ πατρὶ κελ[αινεφέϊ Κρονίωνι]
ναιετάοις πάντεσσι τετιμ[ένη ἀθανάτοι]σιν.
εἰ δέ, πτᾶσα πάλιν σύ γ' ἰοῦσ' ὑπ[ὸ κεύθεσι γαίης]
οἰκήσεις ὡρέων τρίτατον μέρ[ος εἰς ἐνιαυτόν,]
τὰς δὲ δύω παρ' ἐμοί τε καὶ [ἄλλοις ἀθανά]τοισιν.
ὁππότε δ' ἄνθεσι γαῖ' εὐώδε[σιν] ἠαρινο[ῖσι]
παντοδαποῖς θάλλει, τότ' ἀπὸ ζόφου ἠερόεντος
αὖτις ἄνει μέγα θαῦμα θεοῖς θνητοῖς τ' ἀνθρώποις.
καὶ τίνι σ' ἐξαπάτησε δόλῳ κρατερ[ὸς Πολυδ]έγμων;
Τὴν δ' αὖ Περσεφόνη περικαλλὴς ἀντίον ηὔδα·
τοιγὰρ ἐγώ σοι μῆτερ ἐρέω νημερτέα πάντα·
εὖτέ μοι 'Ερμῆς ἦ[λθ]' ἐριούνιος ἄγγελος ὠκὺς
πὰρ πατέρος Κρονίδαο καὶ ἄλλων οὐρανιώνων
ἐλθεῖν ἐξ 'Ερέβευς, ἵνα μ' ὀφθαλμοῖσιν ἰδοῦσα
λήξαις ἀθανάτοισι χόλου καὶ μήνιος αἰνῆς,
αὐτίκ' ἐγὼν ἀνόρουσ' ὑπὸ χάρματος, αὐτὰρ ὁ λάθρῃ
ἔμβαλέ μοι ῥοιῆς κόκκον, μελιηδέ' ἐδωδήν,
ἄκουσαν δὲ βίῃ με προσηνάγκασσε πάσασθαι.
ὡς δέ μ' ἀναρπάξας Κρονίδεω πυκινὴν διὰ μῆτιν
ᾤχετο πατρὸς ἐμοῖο φέρων ὑπὸ κεύθεα γαίης
ἐξερέω καὶ πάντα διίξομαι ὡς ἐρεείνεις.
ἡμεῖς μὲν μάλα πᾶσαι ἀν' ἱμερτὸν λειμῶνα,
Λευκίππη Φαινώ τε καὶ 'Ηλέκτρη καὶ 'Ιάνθη,
καὶ Μελίτη 'Ιάχη τε 'Ρόδειά τε Καλλιρόη τε,
Μηλόβοσίς τε Τύχη τε καὶ 'Ωκυρόη καλυκῶπις,
Χρυσηΐς τ' 'Ιάνειρά τ' 'Ακάστη τ' 'Αδμήτη τε,
καὶ 'Ροδόπη Πλουτώ τε καὶ ἱμερόεσσα Καλυψώ,
καὶ Στὺξ Οὐρανίη τε Γαλαξαύρη τ' ἐρατεινή,
Παλλάς τ' ἐγρεμάχη καὶ "Αρτεμις ἰοχέαιρα,
παίζομεν ἠδ' ἄνθεα δρέπομεν χείρεσσ' ἐρόεντα,
μίγδα κρόκον τ' ἀγανὸν καὶ ἀγαλλίδας ἠδ' ὑάκινθον
καὶ ῥοδέας κάλυκας καὶ λείρια, θαῦμα ἰδέσθαι,

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416030106/21 UNIVERSITÄT LEIPZIG